ΗΜΙΧ. λεύσσεις οὖν ἐπ᾽ Ἐγκελάδῳ
γοργωπὸν πάλλουσαν ἴτυν;
ΗΜΙΧ. λεύσσω Παλλάδ᾽, ἐμὰν θεόν.
ΗΜΙΧ. τί γάρ; κεραυνὸν
ἀμφίπυρον ὄβριμον ἐν Διὸς
ἑκηβόλοισι χερσίν;
ΗΜΙΧ. ὁρῶ, τὸν δάιον
Μίμαντα πυρὶ καταιθαλοῖ.
ΗΜΙΧ. καὶ Βρόμιος ἄλλον ἀπολέμοισι
κισσίνοισι βάκτροις
ἐναίρει Γᾶς τέκνων ὁ Βακχεύς.
ΧΟ. σέ τοι τὸν παρὰ ναὸν αὐ- antistr.
δῶ· θέμις γυάλων ὑπερ-
βῆναι λευκῷ ποδὶ γ...;
ΙΩΝ. οὐ θέμις, ὦ ξέναι.
ΧΟ. οὐδ᾽ ἂν ἐκ σέθεν ἂν πυθοίμαν,
ΙΩΝ. αὔδα· τί θέλεις;
ΧΟ. ἆρ᾽ ὄντως μέσον ὀμφαλὸν
γᾶς Φοίβου κατέχει δόμος;
ΙΩΝ. στέμμασί γ᾽ ἐνδυτόν, ἀμφὶ δὲ Γοργόνες.
ΧΟ. οὕτω καὶ φάτις αὐδᾷ.
ΙΩΝ. εἰ μὲν ἐθύσατε πέλανον πρὸ δόμων
καί τι πυθέσθαι χρῄζετε Φοίβου,
πάριτ᾽ εἰς θυμέλας, ἐπὶ δ᾽ ἀσφάκτοις
μήλοισι δόμων μὴ πάριτ᾽ εἰς μυχόν.
ΧΟ. ἔχω μαθοῦσα·
θεοῦ δὲ νόμον οὐ παραβαίνομεν·
ἃ δ᾽ ἐκτός, ὄμμα τέρψει.
ΙΩΝ. πάντα θεᾶσθ᾽, ὅ τι καὶ θέμις, ὄμμασι.
ΧΟ. μεθεῖσαν δεσπόται

213. ὄ.βριμον B ὄμβριμον C 216. ἀπολέμοισι] 217. κισσίνοισι] Musgravius, ἀπολέμοις et κισσίνοις libri. 218. τέκνων] Elmsleyus, τέκνον libri. 222. ξένοι B ξένοι (αι superscript) C(?) 224. αὔδα τί θέλεις] Hermannus, αὐδάν. ΙΩΝ. τίνα δὲ θέλεις libri. 224. ἐνδυτόν] Musgravius, ἐνδυτός libri. 226. ἐθύσατε] Stephanus et Brodaeus, ἐδύσατε (λ superscript) libri.